# ΚΑΘΑΙΡΕΣΙΣ

## τοῦ κακῶς χειροτονηθέντος ποτὲ Γάζης Λατινόφρονος Παϊσίου Λιγαρίδου.

---

(Κεῖται ἐν τῷ Κώδικι τῆς ἁγίας πόλεως Ἱερουσαλὴμ 53).

Ἀνακαθαίρειν τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν φθοροποιῶν καὶ λυμεώνων λύκων χρέος ἡμῖν ἀπαραίτητον καθέστηκε, καὶ ἀπ' αὐτῶν τῶν Θεοκηρύκων Ἀποστόλων καὶ τῶν μετ' αὐτοὺς ἁγίων Πατέρων τῶν κατὰ καιροὺς ἐν ταῖς ἱεραῖς Συνόδοις συναθροισθέντων παραλαβόντες καὶ φυλάττοντες. Διὸ καὶ τὸν Παΐσιον, οὗ τοὐπίκλην Λιγαρίδης, τῆς ἁγιωτάτης Ἀρχιεπισκοπῆς Γάζης τῆς κατὰ Παλαιστίνην, κατὰ Θεοῦ παραχώρησιν λαχόντα ἐπιστατεῖν, λύκον δὲ βαρὺν ἀποφανθέντα, ἐν οἷς τὰ Λατίνων ἐφάνη φρονῶν, διὰ τοῦτο ἐξωσθέντα παρὰ τοῦ πρὸ ἡμῶν ἀοιδίμου Πατριάρχου κυρίου Παϊσίου· φυγὰς (ὢν) οὖν ἐντεῦθεν, ἔνθεν κἀκεῖθεν περιῆγε πλανῶν καὶ πλανώμενος, ἐξαπατῶν καὶ δελεάζων τοὺς ἐντυγχάνοντας, ἕως ὅτου καὶ τοῖς ἀνωτέρω βορείοις μέρεσιν ἀπεδήμησε. Μὴ ἔχων δὲ παρά τινος αἰτῆσαι καὶ λαβεῖν ἀπολυτικὸν γράμμα, πάντων τῶν ἡμετέρων ἀποστρεφομένων αὐτὸν καὶ μυσαττομένων διὰ τὸ τοῦτον κακεντρεχές τε καὶ ὕπουλον, αὐτὸς περὶ ἑαυτοῦ πλαστὰ σχεδιασάμενος γράμματα καὶ νόθῳ ταῦτα χειρὶ ὑπογράψας ὡς δῆθεν ὄντα Πατριαρχικά, τούτοις τῷ ἐκεῖσε ἐνεφανίσθη ἄνακτι μεγαλαυχῶν καὶ ἀλαζονευόμενος ἐπὶ διδασκαλίᾳ, καὶ ἐξουσίαν ἔχειν λέγων μεγίστην παρὰ τῶν τεσσάρων Πατριαρχῶν, καὶ στόμα τούτων εἶναι καταψευδόμενος καὶ ἕτερ' ἄττα τερατευόμενος, ὑπέκρυπτε τὸν δόλον τῆς ἧς ἐδιδάχθη παρὰ Λατίνοις ἀλλοκότου διδασκαλίας.

Τούτων οὖν ἁπάντων ἕνεκα, ἀνάξιον αὐτὸν κρίνοντες οὐ μόνον ἀρχιερατικῆς τάξεώς τε καὶ στάσεως, ἀλλὰ καὶ ὡς λατινόφρονα ὅλως τοῖς Ὀρθοδόξοις Χριστιανοῖς μὴ συναριθμεῖσθαι, ὅθεν ἡ μετριότης

ἡμῶν μετὰ τῶν σὺν ἐμοὶ πανιερωτάτων Μητροπολιτῶν καὶ θεοφιλεστάτων Ἀρχιεπισκόπων τῶν ἐν ἁγίῳ κτλ. ἀποφαινόμε(νοι)θα ἐν ἁγίῳ Πνεύματι, ἔχομεν αὐτὸν γεγυμνωμένον πάσης ἀρχιερατικῆς τάξεώς τε καὶ στάσεως καὶ τοῦ Θρόνου τῆς ἁγιωτάτης Ἀρχιεπισκοπῆς ἀλλότριον, μήτε εἶναι μήτε λέγεσθαι ὅλως ἐπίσκοπον ἢ εὐλογεῖν ἢ ἁγιάζειν, ἢ ὅπου ἂν εὑρεθείη ὅλως ἀρχιερατικὸν ἢ ἱερατικὸν ἐπιτελεῖν λειτούργημα. Ὅστις δὲ τῶν Χριστιανῶν ἢ τῶν ἐκ τοῦ κοσμικοῦ τάγματος ἢ τῶν ἐκ τοῦ ἱεροῦ καταλόγου, εἰδὼς ταύτην τὴν κατ' αὐτοῦ ἀπόφασιν καὶ Συνοδικὴν δικαίαν καθαίρεσιν, τολμήσει εἰπεῖν αὐτὸν τὸν ἀλλοτριόφρονα ἢ ὀνομάσαι Ἐπίσκοπον, ἢ προσκαλέσει ὡς Ἐπίσκοπον, ἢ συμφορέσει αὐτῷ, ἢ ἐὰν ὑπάρχῃ κοσμικὸς αἰτήσῃ λαβεῖν εὐλογίαν τὴν οἱανδήποτε παρ' αὐτοῦ, δικάσειεν αὐτὸν ὁ Θεὸς ὡς κοινωνοῦντα τοῖς ἀκοινωνήτοις καὶ ἀλλοτριόφροσιν· ἐξέστω δὲ καὶ τῇ περὶ ἡμᾶς ἱερᾷ Συνόδῳ, σκέψασθαι περὶ ἀποκαταστάσεως γνησίου καὶ ἀληθοῦς ποιμένος ταύτης (τῆς) Ἀρχιεπισκοπῆς Γάζης.

Ἐν ἔτει αχοα'. κατὰ μῆνα Ἀπρίλιον.

† Ὁ ἐλέῳ Θεοῦ Πατριάρχης Ἱεροσολύμων ΔΟΣΙΘΕΟΣ ἐν ἁγίῳ Πνεύματι ἀποφαίνεται.

(Κῶδιξ Α. Μ. 411, σελ. 90—91).

**Σημ. Ἀρχειοφ.** Παΐσιος ὁ Λαγαρίδης ἀπεβίωσε περὶ τὸ 1678.